## Τὸ 15ον κεφ. περὶ τῶν ἀτελῶν ἀρετῶν· αἵ εἰσι

1. περὶ ἡδονάς· οἷον ἐγκράτεια περὶ ἧς θεωρεῦ

   1. τί ἐστιν· ὅτι ἐγκράτειά ἐστι, καθ᾽ ἣν αἱ κακαὶ ἐπιθυμίαι, μάλιστα δὲ αἱ τῆς γεύσεως καὶ τῶν ἀφροδισίων τῷ ὀρθῷ λόγῳ ὑποτάττονται. ἄλλως· ἐστὶ διάθεσις ἀγαθή, καθ᾽ ἣν ἀπέχονται τῶν ἡδονῶν, τῆς ἐπιθυμίας ἐγκρατεῖς γινόμενοι.

   2. τὸ ὑποκείμενον
      τὸ πρῶτον· αἱ ἐκ τῆς γεύσεως καὶ ἡδονῆς ἀφαί.
      τὸ δεύτερον· αἱ ἐκ τῆς χρημάτων περιουσίας, καὶ τιμῆς, καὶ τιμωρείας ἡδοναί.

   3. τὰ ἄκρα
      ἐν ὑπερβολῇ· ἀκρασία· καθ᾽ ἣν καίπερ μαχομένου τοῦ ὀρθοῦ λόγου, ὅμως πρὸς τὰς ἡδονὰς ἕλκονται οἷον ἀκόλεια, ὥστε ἐγκρατεῖς γινόμενοι τῆς κακῆς ἐπιθυμίας.
      εἴδη δύο· τὸ πρῶτον· ὅταν τῷ προπετεστέρῳ πάθει ὑπακούουσιν εὐθύς.
      τὸ δεύτερον· ὅταν χρόνον τινὰ ταῖς ἐπιθυμίαις ἀντιπαρατατόμενοι, τὸ τελευταῖον ἡττῶνται.
      ἐν ἐλλείψει· ὅταν τις μηδὲ καλῆς ἡδονῆς ἕνεκα ἔργον καλὸν πράξῃ· διὰ τὸ λίαν ἀποσείεσθαι πάσας τὰς ἡδονάς.

2. περὶ λύπας· ἡ καρτερία· περὶ ἧς θεωρεῦ

   1. τί ἐστιν· ὅταν τὰ λυπηρὰ καὶ τοὺς πόνους γενναίως φέρομεν τοῦ καλοῦ ἕνεκα, καίπερ μαχομένου τοῦ θυμικοῦ ἐν ἡμῖν.

   2. τὸ ὑποκείμενον περὶ ὅ· ἔστι δὲ τὰ λυπηρά οὐ μέντοι πάντα ἀλλὰ ἃ οἱ πολλοὶ διὰ τὴν ἀσθένειαν καὶ μαλακίαν ὑπείκουσι.

   3. τὰ ἄκρα
      ἐν ὑπερβολῇ· αὐθάδεια, ὅταν πάντα τὰ λυπηρὰ καὶ μὴ καλὰ ὄντα ὑπομένωσιν οἱ ἰσχυρογνώμονες.
      ἐν ἐλλείψει· μαλακία· ὅταν οὐδὲν λυπηρὸν τοῦ καλοῦ ἕνεκα ὑπομένωσι αὕτη γινομένη διὰ φυσικὴν ἀσθένειαν τοῦ σώματος ἢ τῆς ψυχῆς, ἢ ἐν νόσῳ τινὸς συγγνώμης τυγχάνει.